σιλέως τὴν ὑπόγειον καὶ ἔλαβεν ἐκεῖθεν παλαιὰ ῥάκη καὶ παλαιὰ
12 σχοινία καὶ ἔρριψεν αὐτὰ πρὸς Ιερεμιαν εἰς τὸν λάκκον [12]καὶ εἶπεν
Ταῦτα θὲς ὑποκάτω τῶν σχοινίων· καὶ ἐποίησεν Ιερεμιας οὕτως.
13 [13]καὶ εἵλκυσαν αὐτὸν τοῖς σχοινίοις καὶ ἀνήγαγον αὐτὸν ἐκ τοῦ
λάκκου· καὶ ἐκάθισεν Ιερεμιας ἐν τῇ αὐλῇ τῆς φυλακῆς.
14 [14]Καὶ ἀπέστειλεν ὁ βασιλεὺς καὶ ἐκάλεσεν αὐτὸν πρὸς ἑαυτὸν
εἰς οἰκίαν ασελισι τὴν ἐν οἴκῳ κυρίου· καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς
15 Ἐρωτήσω σε λόγον, καὶ μὴ δὴ κρύψῃς ἀπ᾽ ἐμοῦ ῥῆμα. [15]καὶ εἶπεν
Ιερεμιας τῷ βασιλεῖ Ἐὰν ἀναγγείλω σοι, οὐχὶ θανάτῳ με θανατώ-
16 σεις; καὶ ἐὰν συμβουλεύσω σοι, οὐ μὴ ἀκούσῃς μου. [16]καὶ ὤμοσεν
αὐτῷ ὁ βασιλεὺς λέγων Ζῇ κύριος, ὃς ἐποίησεν ἡμῖν τὴν ψυχὴν
ταύτην, εἰ ἀποκτενῶ σε καὶ εἰ δώσω σε εἰς χεῖρας τῶν ἀνθρώπων
17 τούτων. [17]καὶ εἶπεν αὐτῷ Ιερεμιας Οὕτως εἶπεν κύριος Ἐὰν ἐξελ-
θὼν ἐξέλθῃς πρὸς ἡγεμόνας βασιλέως Βαβυλῶνος, καὶ ζήσεται ἡ
ψυχή σου, καὶ ἡ πόλις αὕτη οὐ μὴ κατακαυθῇ ἐν πυρί, καὶ ζήσῃ
18 σὺ καὶ ἡ οἰκία σου· [18]καὶ ἐὰν μὴ ἐξέλθῃς, δοθήσεται ἡ πόλις
αὕτη εἰς χεῖρας τῶν Χαλδαίων, καὶ καύσουσιν αὐτὴν ἐν πυρί, καὶ
19 σὺ οὐ μὴ σωθῇς. [19]καὶ εἶπεν ὁ βασιλεὺς τῷ Ιερεμια Ἐγὼ λόγον
ἔχω τῶν Ιουδαίων τῶν πεφευγότων πρὸς τοὺς Χαλδαίους, μὴ δώ-
20 σειν με εἰς χεῖρας αὐτῶν, καὶ καταμωκήσονταί μου. [20]καὶ εἶπεν
Ιερεμιας Οὐ μὴ παραδῶσίν σε· ἄκουσον τὸν λόγον κυρίου, ὃν
ἐγὼ λέγω πρὸς σέ, καὶ βέλτιον ἔσται σοι, καὶ ζήσεται ἡ ψυχή
21 σου. [21]καὶ εἰ μὴ θέλεις σὺ ἐξελθεῖν, οὗτος ὁ λόγος, ὃν ἔδειξέν μοι
22 κύριος [22]Καὶ ἰδοὺ πᾶσαι αἱ γυναῖκες αἱ καταλειφθεῖσαι ἐν οἰκίᾳ
βασιλέως Ιουδα ἐξήγοντο πρὸς ἄρχοντας βασιλέως Βαβυλῶνος, καὶ
αὗται ἔλεγον Ἠπάτησάν σε καὶ δυνήσονταί σοι ἄνδρες εἰρηνικοί
σου καὶ καταλύσουσιν ἐν ὀλισθήμασιν πόδας σου, ἀπέστρεψαν
23 ἀπὸ σοῦ. [23]καὶ τὰς γυναῖκάς σου καὶ τὰ τέκνα σου ἐξάξουσιν
πρὸς τοὺς Χαλδαίους, καὶ σὺ οὐ μὴ σωθῇς, ὅτι ἐν χειρὶ βασιλέως
24 Βαβυλῶνος συλλημφθήσῃ, καὶ ἡ πόλις αὕτη κατακαυθήσεται. [24]καὶ
εἶπεν αὐτῷ ὁ βασιλεύς Ἄνθρωπος μὴ γνώτω ἐκ τῶν λόγων τού-
25 των, καὶ σὺ οὐ μὴ ἀποθάνῃς. [25]καὶ ἐὰν ἀκούσωσιν οἱ ἄρχοντες

**11** υπογειον] -γεον S, -γαιον A | ιερεμιαν] pr. τον A† || **13** τοις] pr. εν A | τη > SA† || **14** ασελισι Ra.] ασσε. *L*, ασελεισηλ B, ασαλιηλ S†, σαλαθιηλ A† | μη δη B*C*†] tr. S*†, δη > rel.: cf. 25 || **15** θανατω > A† | με θανατωσεις] tr. A | ακουσης μου] tr. A || **16** δωσω] pr. παρα A: cf. 18 **46** 17 || **17** και 2⁰ > B || **18** εξελθης] εξ > S*† | δοθησεται] pr. παρα A: cf. 16 | των χαλδ.] βασιλεως βαβυλωνος A† || **19** βασιλευς] + σεδεκιας S | τω > S† || **20** παραδωσουσιν SA | ακουσον] pr. και S† | τον > A† || **21** θελεις] -λης *L*, βουλη A† | μοι] σοι S*† || **22** βασιλεως 1⁰] pr. του S† | ηπατησεν A† | ποδα σου S*† | απεστρεψαν] ν > S^c†, αποστρεψον S*†, pr. και AS^c || **23** τας γυναικας ... τα τεκνα] tr. A† | εν χειρι] εις -ρας A | συλλημφθ.] παραδοθηση A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/740 UNIVERSITÄT LEIPZIG